## τὸ ἀνάγνωσμα περὶ Ἄβραμ ἐν Αἰγύπτῳ

Καὶ γίγνεται λιμὸς ἐπὶ τῆς γῆς, καὶ καταβαίνει Ἄβραμ εἰς Αἴγυπτον ὡς παροικήσων ἐκεῖ. ἐπεὶ εἰσέρχεται εἰς Αἴγυπτον, λέγει ὁ Ἄβραμ τῇ Σάρα τῇ γυναικὶ· "γυνὴ εὐπρόσωπος εἶ· εἰ ὄψονται σὲ οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι ἡ γυνὴ ἐμοῦ εἶ. καὶ ἀποκτενοῦσί με, σὲ δὲ λήψονται. λέγε οὖν ὅτι ἡ ἀδελφὴ ἐμοὶ εἶ, ὅπως ἂν εὖ μοι γένηται διὰ σέ, καὶ ζήσεται ἡ ψυχὴ ἐμοῦ σοῦ ἕνεκα." εἰσέρχεται μὲν ὁ Ἄβραμ εἰς Αἴγυπτον, ὁρῶσι δὲ οἱ Αἰγύπτιοι τὴν γυναῖκα καλὴν οὖσαν, καὶ ὁρῶσι αὐτὴν οἱ ἄρχοντες τοῦ Φαραὼ καὶ ἐπαινοῦσιν αὐτὴν πρὸς τὸν Φαραὼ καὶ εἰσάγουσιν αὐτὴν εἰς τὸν οἶκον τοῦ Φαραώ· καὶ τῷ Ἄβραμ εὖ χρῶνται δι᾽ αὐτήν, καὶ γίγνονται αὐτῷ πρόβατα καὶ μόσχοι καὶ ὄνοι, παῖδες καὶ παιδίσκαι, ἡμίονοι καὶ κάμηλοι. καὶ βλάπτει ὁ θεὸς τὸν Φαραὼ κακοῖς μεγάλοις καὶ πονηροῖς καὶ τὸν οἶκον αὐτοῦ περὶ Σάρας τῆς γυναικὸς τοῦ Ἄβραμ. καλεῖ δὲ Φαραὼ τὸν Ἄβραμ καὶ λέγει· "τί τοῦτο ἐποίησας ἐμοὶ οὐκ ἀπαγγέλων ὅτι ἡ Σάρα γυνή σού ἐστιν; τί εἶπας ὅτι ἀδελφή σου ἐστιν; καὶ ἔλαβον αὐτὴν ἐμαυτῷ εἰς γυναῖκα. καὶ νῦν ἰδοὺ ἡ Σαρὰ ἐναντίον σου· λάμβανε αὐτὴν καὶ ταχέως ἀπέρχου." καὶ ἐντέλλεται ὁ Φαραὼ ἀνδράσιν συμπροπέμπειν τὸν Ἄβραμ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ πάντα, ὅσα ἐστὶ αὐτῷ, καὶ Λὼτ μετ᾽ αὐτοῦ.

---

## Notes

ὡς παροικήσων: you encountered (ἐνετύχετε) this construction in lesson eight: *ἐρχόμεθα ἀνὰ τὰ ὄρη ὡς νεμοῦντες τὰ πρόβατα*. It consists of the conjunction *ὡς* and the future participle and expresses purpose. See below for the verb *παροικέω*.

σοῦ ἕνεκα: ἕνεκα is a postposition, i.e., it comes after its object. See below for ἕνεκα.

ἐναντίον: ἐκεῖ *ἐναντίον* ἐν τύπῳ τῆς ὀνομαστικῆς ἢ αἰτιατικῆς πτώσεως καὶ τοῦ οὐδετέρου γένους ἐστὶ ἐπίρρημα.

---

## Vocabulary

※ Green background color indicates core vocabulary.

| **Nouns** (τὰ ὀνόματα) | **English Definition** | **Dict.** | **Gram.** | **Author** |
|---|---|---|---|---|
| ὁ λιμός, τοῦ λιμοῦ | famine | LSJ | 231 | Her. |
| ὁ/ἡ μόσχος, τοῦ/τῆς μόσχου |   | LSJ | 231 | Her. |
| ὁ/ἡ ὄνος, τοῦ/τῆς ὄνου | | LSJ | 231 | Her. |

| | | | | |
|---|---|---|---|---|
| |  | | | |
| ὁ/ἡ θεός, τοῦ/τῆς θεοῦ | god | LSJ | 231 | Her. Xen. |
| ἡ παιδίσκη, τῆς παιδίσκης | young girl, young female slave, maidservant | LSJ | 216 | Her. |
| ἡ ἡμίονος, τῆς ἡμιόνου |  | LSJ | 231 | Her. |
| ὁ/ἡ κάμηλος, τοῦ/τῆς καμήλου |  | LSJ | 231 | Her. |

| **Adjectives** (τὰ ἐπίθετα) | **English Definition** | **Dict.** | **Gram.** | **Author** |
|---|---|---|---|---|
| εὐπρόσωπος, ον | τὸ πρόσωπον καλόν ἐστι | LSJ | 289 | |
| πονηρός, -ά, -όν | painful, grievous | LSJ | 287 | Xen. |
| ἐναντίος, -α, -ον | opposite | LSJ | 287 | Her. Xen. |

| **Prepositions** (αἱ προθέσεις) | **English Definition** | **Dict.** | **Gram.** | **Author** |
|---|---|---|---|---|

| | | | | |
|---|---|---|---|---|
| ἕνεκα (σὺν γενικῇ) | on account of | LSJ | 1665 | Her. Xen. |

| **Verbs** (τὰ ῥήματα) | **English Definition** | **Dict.** | **Gram.** | **Author** |
|---|---|---|---|---|
| γίγνομαι, γενήσομαι, ἐγενόμην | I become, come into being | LSJ | 383 | Her. Xen |
| καταβαίνω, καταβήσομαι, κατέβη | I go down | LSJ | 383 | Her. Xen |
| παροικέω, παροικήσω, παρῴκησα | I live nearby | LSJ | 385 | |
| ὁράω (ὁρῶ), ὀψομαι, εἶδον | I see | LSJ | 385 | Her. Xen. |
| ἐρῶ | I will say, speak | LSJ | 385 | Her. Xen. |
| ἀποκτείνω, ἀποκτενῶ, ἀπέκτεινα | I kill, slay | LSJ | 383 | Her. |
| λαμβάνω, λήψομαι, ἔλαβον | See reading assignment 11<br>λαμβάνω αὐτὴν ἐμαυτῷ εἰς γυναῖκα = ἄγομαι αὐτήν | LSJ | 383 | Her. Xen. |
| ζῶ, ζήσω | I live | LSJ | 395 | Her. Xen. |
| ἐπαινέω (ἐπαινῶ), ἐπαινέσω, ἐπῄνεσα | I praise | LSJ | 385 | Her. Xen. |
| χράομαι (χρῶμαι), χρήσομαι, ἐχρησάμην | I use (here: treat) | LSJ | 385 | Her. Xen. |
| βλάπτω, βλάψω, ἔβλαψα | I hurt, harm | LSJ | 383 | Her. Xen. |
| ἀπαγγέλλω, ἀπαγγελῶ, ἀπήγγειλα | I inform, report | LSJ | 383, 407 | Her. Xen. |
| συμπροπέμπω, συμπροπέμψω, συμπρέπεμψα | I join in escorting | LSJ | 383 | Her. Xen. |
| τυγχάνω, τεύξομαι, ἔτυχον | I happen (to be at a place); I meet; I happen upon<br>The verb ἐντυγχάνω is a combination of the preposition (or preverb) *ἐν* with the verb *τυγχάνω*. It means "I meet with" or "I encounter." | LSJ | 383, 384 | Her. Xen. |